[illegible]

πλευρὰς ἕξει μήκει συμμέτρους· τὰ δὲ ἀπὸ τῶν μήκει ἀ-
συμμέτρων εὐθειῶν τετράγωνα πρὸς ἄλληλα λόγον
οὐκ ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀρι-
θμόν· καὶ τὰ τετράγωνα τὰ πρὸς ἄλληλα λόγον μὴ ἔχον-
τα ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν,
οὐδὲ τὰς πλευρὰς ἕξει μήκει συμμέτρους· ἔστωσαν γὰρ
αἱ α β μήκει σύμμετροι· λέγω ὅτι τὸ ἀπὸ τῆς α τετράγω-
νον πρὸς τὸ ἀπὸ τῆς β τετράγωνον λόγον ἔχει ὃν τετρά-
γωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἐπεὶ γὰρ
σύμμετρός ἐστιν ἡ α τῇ β μήκει, ἡ α ἄρα πρὸς τὴν β λό-
γον ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν· ἐχέτω οὖν ὃν
ὁ γ πρὸς τὸν δ· ἐπεὶ οὖν ἐστιν ὡς ἡ α πρὸς τὴν β, οὕτως
ὁ γ ἀριθμὸς πρὸς τὸν δ ἀριθμόν· ἀλλὰ τοῦ μὲν τῆς
α πρὸς τὴν β λόγου διπλασίων ἐστὶν ὁ τοῦ ἀπὸ τῆς α
τετραγώνου πρὸς τὸ ἀπὸ τῆς β τετράγωνον· τὰ γὰρ ὅ-
μοια σχήματα ἐν διπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολό-
γων πλευρῶν· τοῦ δὲ τοῦ γ ἀριθμοῦ πρὸς τὸν δ ἀρι-
θμὸν λόγου διπλασίων ἐστὶν ὁ τοῦ ἀπὸ τοῦ γ τετραγώ-
νου πρὸς τὸ ἀπὸ τοῦ δ τετράγωνον· δύο γὰρ τετραγώνων
ἀριθμῶν εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός· καὶ ὁ τετρά-
γωνος πρὸς τὸν τετράγωνον διπλασίονα λόγον ἔχει ἤ-
περ ἡ πλευρὰ πρὸς τὴν πλευράν· ἔστιν ἄρα καὶ ὡς τὸ ἀπὸ
τῆς α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς β τετράγωνον, οὕ-
τως ὁ ἀπὸ τοῦ γ τετράγωνος ἀριθμὸς πρὸς τὸν ἀπὸ
τοῦ δ ἀριθμοῦ τετράγωνον ἀριθμόν· ἀλλὰ δὴ ἔστω ὡς
τὸ ἀπὸ τῆς α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς β τετράγω-

νον, οὕτως ὁ ἀπὸ τοῦ γ τετράγωνος πρὸς τὸν ἀπὸ τοῦ δ τε-
τράγωνον· λέγω ὅτι σύμμετρός ἐστιν ἡ α τῇ β μήκει· ἐπεὶ
γάρ ἐστιν ὡς τὸ ἀπὸ τῆς α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς β
τετράγωνον, οὕτως ὁ ἀπὸ τοῦ γ τετράγωνος πρὸς τὸν
ἀπὸ τοῦ δ τετράγωνον· ἀλλ' ὁ μὲν τοῦ ἀπὸ τῆς α τετρα-
γώνου πρὸς τὸ ἀπὸ τῆς β τετράγωνον λόγος διπλα-
σίων ἐστὶ τοῦ τῆς α πρὸς τὴν β λόγου· ὁ δὲ τοῦ ἀπὸ τοῦ γ
ἀριθμοῦ τετραγώνου ἀριθμοῦ πρὸς τὸν ἀπὸ τοῦ δ ἀ-
ριθμοῦ τετράγωνον ἀριθμὸν λόγος διπλασίων ἐστὶ
τοῦ τοῦ γ ἀριθμοῦ πρὸς τὸν δ ἀριθμὸν λόγου· ἔστιν
ἄρα καὶ ὡς ἡ α πρὸς τὴν β, οὕτως ὁ γ ἀριθμὸς πρὸς τὸν
δ ἀριθμόν· ἡ α ἄρα πρὸς τὴν β λόγον ἔχει ὃν ἀριθμὸς
ὁ γ πρὸς ἀριθμὸν τὸν δ· σύμμετρος ἄρα ἐστὶν ἡ α τῇ β μή-
κει· ἀλλὰ δὴ ἀσύμμετρος ἔστω ἡ α τῇ β μήκει· λέγω ὅ-
τι τὸ ἀπὸ τῆς α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς β τετρά-
γωνον λόγον οὐκ ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς
τετράγωνον ἀριθμόν· εἰ γὰρ ἔχει τὸ ἀπὸ τῆς α τετρά-
γωνον πρὸς τὸ ἀπὸ τῆς β τετράγωνον λόγον ὃν τε-
τράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, σύμ-
μετρος ἔσται ἡ α τῇ β· οὐκ ἔστι δέ· οὐκ ἄρα τὸ ἀπὸ
τῆς α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς β τετράγωνον
λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον
ἀριθμόν· πάλιν δὴ τὸ ἀπὸ τῆς α τετράγωνον πρὸς
τὸ ἀπὸ τῆς β τετράγωνον λόγον μὴ ἐχέτω ὃν τετρά-
γωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· λέγω
ὅτι ἀσύμμετρός ἐστιν ἡ α τῇ β μήκει· εἰ γάρ ἐστι συμμε-

BIBL. BODL.